# 150. THE UNFAITHFUL HUSBANDMEN (Matt-Lk Identicals)

| Matt 21:33-46 | Luke 20:9-19 |
|---|---|
| | *Ἤρξατο δὲ πρὸς τὸν λαὸν* |
| *Ἄλλην παραβολὴν ἀκούσατε.* | *λέγειν τὴν παραβολὴν ταύτην·* |
| *Ἄνθρωπος ἦν οἰκοδεσπότης* | *Ἄνθρωπός τις* |
| *ὅστις ἐφύτευσεν ἀμπελῶνα* | *ἐφύτευσεν ἀμπελῶνα,* |
| *καὶ φραγμὸν αὐτῷ περιέθηκεν* | |
| *καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν* | |
| *καὶ ᾠκοδόμησεν πύργον,* | |
| *καὶ ἐξέδετο αὐτὸν γεωργοῖς,* | *καὶ ἐξέδετο αὐτὸν γεωργοῖς,* |
| *καὶ ἀπεδήμησεν.* | *καὶ ἀπεδήμησεν* |
| | *χρόνους ἱκανούς.* |
| *34 ὅτε δὲ ἤγγισεν ὁ καιρὸς* | *10 καὶ καιρῷ* |
| *τῶν καρπῶν,* | |
| *ἀπέστειλεν* | *ἀπέστειλεν* |
| *τοὺς δούλους αὐτοῦ* | |
| *πρὸς τοὺς γεωργοὺς* | *πρὸς τοὺς γεωργοὺς* |
| | *δοῦλον,* |
| *λαβεῖν* | *ἵνα* |
| *τοὺς καρποὺς αὐτοῦ.* | *ἀπὸ τοῦ καρποῦ* |
| | *τοῦ ἀμπελῶνος δώσουσιν αὐτῷ·* |
| *35 καὶ λαβόντες οἱ γεωργοὶ* | *οἱ δὲ γεωργοὶ ἐξαπέστειλαν* |
| *τοὺς δούλους αὐτοῦ* | *αὐτὸν* |
| *ὃν μὲν ἔδειραν,* | *δείραντες κενόν.* |
| *ὃν δὲ ἀπέκτειναν,* | |
| *ὃν δὲ ἐλιθοβόλησαν.* | |
| *36 πάλιν ἀπέστειλεν* | *11 καὶ προσέθετο* |
| | *ἕτερον πέμψαι δοῦλον·* |
| | *οἱ δὲ κἀκεῖνον* |
| | *δείραντες καὶ ἀτιμάσαντες* |
| | *ἐξαπέστειλαν κενόν.* |
| | *12 καὶ προσέθετο τρίτον πέμψαι·* |
| | *οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον.* |
| *ἄλλους δούλους* | |
| *πλείονας τῶν πρώτων,* | |
| *καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως.* | |
| | |
| | *13 εἶπεν δὲ ὁ κύριος τοῦ ἀμπελῶνος,* |

| | |
|---|---|
| *37 ὕστερον δὲ ἀπέστειλεν* | *Τί ποιήσω πέμψω* |
| *πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ* | *τὸν υἱόν μου τὸν ἀγαπητόν·* |
| *λέγων,* | |
| *Ἐντραπήσονται τὸν υἱόν μου.* | *ἴσως τοῦτον ἐντραπήσονται.* |
| *38 οἱ δὲ γεωργοὶ* | |
| *ἰδόντες τὸν υἱὸν* | *14 ἰδόντες δὲ αὐτὸν* |
| | *οἱ γεωργοὶ* |
| *εἶπον ἐν ἑαυτοῖς,* | *διελογίζοντο πρὸς ἀλλήλους* |
| | *λέγοντες,* |
| *Οὗτός ἐστιν ὁ κληρονόμος·* | *Οὗτός ἐστιν ὁ κληρονόμος·* |
| *δεῦτε ἀποκτείνωμεν αὐτὸν* | *ἀποκτείνωμεν αὐτόν,* |
| *καὶ σχῶμεν τὴν κληρονομίαν αὐτοῦ.* | *ἵνα ἡμῶν γένηται ἡ κληρονομία.* |
| *39 καὶ λαβόντες αὐτὸν* | |
| *ἐξέβαλον* | *15 καὶ ἐκβαλόντες αὐτὸν* |
| *ἔξω τοῦ ἀμπελῶνος* | *ἔξω τοῦ ἀμπελῶνος* |
| *καὶ ἀπέκτειναν.* | *ἀπέκτειναν.* |
| *40 ὅταν οὖν ἔλθῃ* | |
| | *τί οὖν ποιήσει αὐτοῖς* |
| *ὁ κύριος τοῦ ἀμπελῶνος,* | *ὁ κύριος τοῦ ἀμπελῶνος* |
| *τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις* | |
| *41 λέγουσιν αὐτῷ,* | |
| | *16 ἐλεύσεται* |
| *Κακοὺς κακῶς ἀπολέσει αὐτούς,* | *καὶ ἀπολέσει τοὺς γεωργοὺς* |
| | *τούτους,* |
| *καὶ τὸν ἀμπελῶνα ἐκδώσεται* | *καὶ δώσει τὸν ἀμπελῶνα* |
| *ἄλλοις γεωργοῖς,* | *ἄλλοις.* |
| *οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.* | |
| | *ἀκούσαντες δὲ εἶπαν, Μὴ γένοιτο.* |
| *42 λέγει αὐτοῖς ὁ Ἰησοῦς,* | *17 ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπεν,* |
| *Οὐδέποτε* | *Τί οὖν* |
| *ἀνέγνωτε ἐν ταῖς γραφαῖς,* | *ἐστιν τὸ γεγραμμένον τοῦτο·* |
| *Λίθον ὃν ἀπεδοκίμασαν οἱ* | *Λίθον ὃν ἀπεδοκίμασαν οἱ* |
| *οἰκοδομοῦντες* | *οἰκοδομοῦντες,* |
| *οὗτος ἐγενήθη εἰς κεφαλὴν* | *οὗτος ἐγενήθη εἰς κεφαλὴν* |
| *γωνίας·* | *γωνίας* |
| *παρὰ κυρίου ἐγένετο αὕτη,* | |

| | |
|---|---|
| *καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν* | |
| *43 διὰ τοῦτο λέγω ὑμῖν ὅτι* | |
| *ἀρθήσεται ἀφ  ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.* | |
| *44  Καὶ <u>ὁ πεσὼν</u>* | *18 πᾶς <u>ὁ πεσὼν</u>* |
| *<u>ἐπὶ τὸν λίθον</u> τοῦτον* | *<u>ἐπ</u>  ἐκεῖνον <u>τὸν λίθον</u>* |
| *<u>συνθλασθήσεται</u>·* | *<u>συνθλασθήσεται</u>·* |
| *<u>ἐφ  ὃν δ  ἂν πέσῃ</u>* | *<u>ἐφ  ὃν δ  ἂν πέσῃ</u>,* |
| *<u>λικμήσει αὐτόν</u>.* | *<u>λικμήσει αὐτόν</u>.* |
| *45 Καὶ ἀκούσαντες* | |
| *οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι* | |
| *τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν* | |
| *ὅτι περὶ αὐτῶν λέγει·* | |
| *46  <u>καὶ</u> ζητοῦντες αὐτὸν* | *19 <u>Καὶ</u> ἐζήτησαν* |
| | *οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς* |
| *κρατῆσαι* | *ἐπιβαλεῖν ἐπ  αὐτὸν τὰς χεῖρας* |
| | *ἐν αὐτῇ τῇ ὥρᾳ,* |
| *<u>ἐφοβήθησαν</u> τοὺς ὄχλους,* | *καὶ <u>ἐφοβήθησαν</u> τὸν λαόν·* |
| *ἐπεὶ εἰς προφήτην αὐτὸν εἶχον.* | |
| | *ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς* |
| | *εἶπεν τὴν παραβολὴν ταύτην.* |

435 total words with 124 identicals = 29%